ὑπὸ τοῦ σοῦ παιδὸς ὥστε ἀποκτεῖναι αὐτὸν βούλεσθαι;
Ἀλλ᾽ οὗτοι, ἔφη, ἀποκτεῖναι βούλονται, ἀλλὰ πεῖσαι αὐτὸν
συγκαθεύδειν αὐτοῖς. Σὺ δ᾽, ὡς ἔοικας, εἰ τοῦτο γένοιτο,
νομίζεις ἂν διαφθαρῆναι αὐτόν; Ναὶ μὰ Δί᾽, ἔφη, παντά-
54 πασί γε. Οὐδ᾽ αὐτὸς ἄρ᾽, ἔφη, συγκαθεύδεις αὐτῷ; Νὴ
Δί᾽ ὅλας γε καὶ πάσας τὰς νύκτας. Νὴ τὴν Ἥραν, ἔφη
ὁ Σωκράτης, εὐτύχημά γέ σου μέγα τὸ τὸν χρῶτα τοιοῦτον
φῦναι ἔχοντα ὥστε μόνον μὴ διαφθείρειν τοὺς συγκαθεύ-
δοντας. ὥστε σοί γε εἰ μὴ ἐπ᾽ ἄλλῳ ἀλλ᾽ ἐπὶ τῷ χρωτὶ
55 ἄξιον μέγα φρονεῖν. Ἀλλὰ μὰ Δί᾽, ἔφη, οὐκ ἐπὶ τούτῳ
μέγα φρονῶ. Ἀλλ᾽ ἐπὶ τῷ μήν; Ἐπὶ νὴ Δία τοῖς ἄφροσιν.
οὗτοι γὰρ τὰ ἐμὰ νευρόσπαστα θεώμενοι τρέφουσί με.
Ταῦτ᾽ ἄρ᾽, ἔφη ὁ Φίλιππος, καὶ πρῴην ἐγώ σου ἤκουον
εὐχομένου πρὸς τοὺς θεοὺς ὅπου ἂν ᾖς διδόναι καρποῦ μὲν
56 ἀφθονίαν, φρενῶν δὲ ἀφορίαν. Εἶεν, ἔφη ὁ Καλλίας· σὺ
δὲ δή, ὦ Σώκρατες, τί ἔχεις εἰπεῖν ὡς ἄξιόν σοί ἐστι μέγα
φρονεῖν ἐφ᾽ ᾗ εἶπας οὕτως ἀδόξῳ οὔσῃ τέχνῃ; καὶ ὃς εἶπεν·
Ὁμολογησώμεθα πρῶτον ποῖά ἐστιν ἔργα τοῦ μαστροποῦ·
καὶ ὅσα ἂν ἐρωτῶ, μὴ ὀκνεῖτε ἀποκρίνεσθαι, ἵνα εἰδῶμεν
ὅσα ἂν συνομολογῶμεν. καὶ ὑμῖν οὕτω δοκεῖ; ἔφη. Πάνυ
μὲν οὖν, ἔφασαν. ὡς δ᾽ ἅπαξ εἶπαν Πάνυ μὲν οὖν, τοῦτο
57 πάντες ἐκ τοῦ λοιποῦ ἀπεκρίναντο. Οὐκοῦν ἀγαθοῦ μέν,
ἔφη, ὑμῖν δοκεῖ μαστροποῦ ἔργον εἶναι ἣν ἂν ἢ ὃν ἂν
μαστροπεύῃ ἀρέσκοντα τοῦτον ἀποδεικνύναι οἷς ἂν συνῇ;
Πάνυ μὲν οὖν, ἔφασαν. Οὐκοῦν ἓν μέν τί ἐστιν εἰς τὸ
ἀρέσκειν ἐκ τοῦ πρέπουσαν ἔχειν σχέσιν καὶ τριχῶν καὶ
58 ἐσθῆτος; Πάνυ μὲν οὖν, ἔφασαν. Οὐκοῦν καὶ τόδε ἐπι-
στάμεθα, ὅτι ἔστιν ἀνθρώπῳ τοῖς αὐτοῖς ὄμμασι καὶ φιλικῶς
καὶ ἐχθρῶς πρός τινας βλέπειν; Πάνυ μὲν οὖν. Τί δέ, τῇ